Σχόλια. Ἐλελελεῦ.] ἐπίφθεγμα πολεμικόν. οἱ A προσιόντες γὰρ εἰς πόλεμον, τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν τῷ Φιλοκτήτῃ, ποιεῖ τὸν Ἀγαμέμνονα παραγγέλλοντα τοῖς Ἀχαιοῖς.

Ἕλκε. τίλλε. παῖε. δεῖρε. κόπτε πρώτην τὴν χύτραν.
Επ. Εἰπέ μοι τί μέλλετ' ὦ πάντων κάκιστα θηρίων,
Ἀπολέσαι, παθόντες οὐδὲν, ἄνδρε καὶ διασπάσαι. B
Τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενέε καὶ φυλέτα.
Χο. Φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς, ἢ λύκων;
Ἢ τίνας τισαίμεθ' ἄλλους, τῶνδ' ἂν ἐχθίους ἔτι;
Επ. Εἰ δὲ τὴν φύσιν μὲν ἐχθροὶ, τὸν δὲ νοῦν εἰσὶ φίλοι, C
Καὶ διδάξοντές τι δεῦρ' ἥκουσιν ὑμᾶς χρήσιμον;
Χο. Πῶς δ' ἂν οἵγ' ἡμᾶς τι χρήσιμον διδάξειάν ποτε
Ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμοῖς.
Επ. Ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί.
Ἡ γὰρ εὐλάβεια σώζει πάντα. παρὰ μὲν οὖν φίλου D
Οὐ μάθοις ἂν οὐδέν. ὁ δ' ἐχθρὸς αὐτὸς ἐξηνάγκασεν.
Αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν γ' ἔμαθον ἐχθρῶν κοὐ φίλων,
Ἐκπονεῖν θ' ὑψηλὰ τείχη, ναῦς τε κεκτῆσθαι μακράς.
Τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα. E
Χο. Ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δοκεῖ,
Χρήσιμον. μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.
Πει. Οἵδε τῆς ὀργῆς χαλᾶν ἐοίκασιν. ἄναγ' ἐπὶ σκέλος.
Επ. Καὶ δίκαιόν γ' ἐστί. κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.
Χο. Ἀλλὰ μὴν οὐδ' ἄλλο σοί πω πρᾶγμ' ἠναντιώμεθα. F

*Trahe, velle, verbera, decoria, frange primam ollam.*
EP. *Dic mihi, quid cogitatis omnium pessimæ ferarum*
*Perdere patientes nihil, viros & diuellere,*
*Meæ vxoris existentes cognatos & contribules?*
CHO. *Parcemus enim aliquid his magis nos quàm lupis,*
*An aliquos puniemus alios his inimiciores amplius?*
EP. *Si autem natura quidem inimici, mẽte autem sunt amici,*
*Et docturi aliquid huc venerunt vos vtile.*
CHO. *Quomodo autem hi nos aliquid vtile docebunt vnquam,*
*An dicent existentes inimici illis auis meis?*
EP. *Sed ab inimicis certè multa discunt sapientes,*
*Hic enim metus saluat omnia: à quidem igitur amico*
*Non discas nihil, hic autem inimicus ipse cogit.*
*Statim ciuitates à viris didicerunt inimicis, & non amicis,*
*Facereque altos muros, nauésque fabricare longas.*
*Hæc autem doctrina hæc saluat filios, domum, pecunias.*
CHO. *Est quidem sermonum audire primùm, vt mihi videtur*
*Vtile, discat enim aliquis & ab inimicis sapiens.*
PI. *Hi autem iram deprimere videntur, reduc in crus.*
EP. *Et iustum est, & mihi oportet dare vos gratiam.*
CHO. *Sed quidem neque alia tibi re aduersamur.*

Σχόλια. Ἕλκε. τίλλε.] καὶ Κρατῖνος. σφάττε. δεῖρε. κόπτε. τὴν χύτραν δὲ εἰς ἣν ἐπερείδονται, δεικνύντες ὅτι καταφρονοῦσιν αὐτῆς. Καὶ φυλέτα.] ξυμπατριώτας. ὅτι καὶ ἡ Πρόκνη Ἀττικὴ ἦν Πανδίονος θυγάτηρ. Μᾶλλον ἡμεῖς ἢ λύκων.] μᾶλλον λύκων φεισόμεθα, ἤπερ τούτων. ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τοὺς λύκους ἀπέκτεινον τὸ παλαιὸν ἐν τῇ Ἀττικῇ. καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ G ὁ μὲν φονεύων λύκου τέκνον, τάλαντον ἐλάμβανεν. ὁ δὲ τέλειον, δύο. ὅθεν καὶ τὸν Ἀπόλλωνα λύκειον καὶ λυκοκτόνον φασίν. Τοῖσι πάπποις τοῖς ἐμοῖς.] ὅπερ ἐστὶν ἐκ προγόνων ἡμῖν ἐχθροὶ ὄντες. καὶ Μένανδρος. οὐχ ὅθεν ἀπολλύμεθα σωθείημεν ἄν. Ἀλλ' ἀπ' ἐχθρῶν δὴ πολλά.] φοβούμενος γάρ τις τοὺς ἐχθροὺς ὠφελεῖται παρ' αὐτῶν. ὁ γὰρ τῶν ἐχθρῶν φόβος, πολλὰ χρήσιμα ἔσθ' ὅτε διδάσκει πρὸς φυλακὴν καὶ πρόνοιαν. καὶ ὑπ' ἀνάγκης ἐχθρῶν συνωθούμενοι μηχανάς τινας σωτηρίας εἰς ἑαυτῶν φυλακὴν ἐπινοοῦσιν οἱ ἄνθρωποι. Ναῦς τε κεκτῆσθαι μακράς.] τὰς τριήρεις. ταῦτα εἰς Συρακουσίους αἰνίττεται. οὓς ἐνίκησαν Ἀθηναῖοι, διὰ τὸ ταπεινοὺς ἔχειν τοὺς πύργους. Ἔστι μὲν λόγων ἀκοῦσαι] τὸ ἑξῆς. ἔστι μὲν χρήσιμον, τὸ ἀκοῦσαι πρὸς τὸ ἐφ' ὅτῳ ἐληλύθασιν. Ἄναγ' ἐπὶ σκέλος.] ἀντὶ τοῦ ἀναχώρει ὀλίγον ὑπὸ πόδα. παρὰ τὸ, γόνυ γουνὸς ἀμείβων. τοῦτο δὲ, ὡς ὑποδεισάντων αὐτῶν ὑπὸ τοῦ δέους. Καὶ δίκαιόν γ' ἐστί.] τοῦτο ὁ Ἔποψ πρὸς τοὺς ὄρνιθας. ἐπειδὴ ἔφασαν εἰς λόγους βούλεσθαι ἐλθεῖν τοῖς ἀνθρώποις.